της φησὶ πρὸς αὐτὸν, μηδέν σοι τῶν ἀγαθῶν γένοιτ' ἄν. τοῦτο νομίζεις τερατῶδες εἶναι σημεῖον, καὶ μάλα φησὶν, οἱ χολωθέντες ἀνὰ πρὸς ὀλίγον πάλιν διαλλαγέντες, ἐχαρίσαντο. ὁ δὲ Ζήνας, δέσποτα, λαλεῖν ἀρξάμενος, πάντα ὑπὲρ ἄνθρωπον φθέγγεται. εἰς ἐμὲ γὰρ ὕβρεις παχείας φέρει, εἰς σὲ δὲ καὶ τοὺς θεοὺς μεγάλα βλασφημεῖ. ὀργισθεὶς δὲ ὁ κύριος αὐτοῦ, λέγει τῷ Ζήνᾳ, ἰδοὺ, ἀπὸ τοῦ νῦν κεχάρισαί σοι, πώλησον, χάρισον, ἀπόλυσον, ὃ βούλει πρᾶξον εἰς αὐτόν. ὁ δὲ Ζήνας λαβὼν αὐτοῦ ἐγγραφὴν τὴν δωρεὰν τῆς ἐξουσίας Αἰσώπου, ἐλθὼν εἰς ἀγρὸν, ἐκάλεσε τὸν Αἴσωπον, καὶ λέγει αὐτῷ, Αἴσωπε, ἐχαρίσθης μοι παρὰ αὐτοῦ δεσπότου, ἵνα ὃ δοκεῖ σοι μοι εἰς σὲ, διαπράξωμαι. σὺ ἰδὼν οὖν, ὅτι σὺ στωμύλος εἶ, βούλομαί σε πεπρᾶσαι. ὁ δὲ φησὶν, ὃ βούλει, πρᾶξαι. ἔτυχεν οὖν κατὰ τὸν καιρὸν ἐκεῖνον κατὰ συγκυρίαν, σωματέμπορον ἐν αὐτοῦ ἀγροῦ παριέναι, καὶ ζητεῖν, μισθώσασθαι, ἢ ἐξωνήσασθαι κτήνη διὰ τὰ σωμάτια. συναντήσας οὖν τῷ Ζήνᾳ, γνωστῷ ὄντι αὐτῷ καὶ φίλῳ, ἠσπά-

nescio an recte. na
hae duae literae e
sic erant.